UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Vita S. Antonii Eremitae

Athanasius <Alexandrinus, Heiliger>

Avgvstae Vindelicorvm, 1611

Τωι Αιδεσιμτατωι καί θεοφιλεςατω ...

urn:nbn:de:hbz:466:1-41477

Visual Library

# ΤΩι ΑΙΔΕΣΙΜΩΤΑΤΩι καὶ θεοφιλεστάτῳ κυρίῳ, Ἀντωνίῳ Βελσέρῳ, τὰ θεῖα πολυμαθεστάτῳ ἀνδρὶ, Δαυὶδ ὁ Οἰχέλιος εὖ πράττειν.

ΑΝάχαρσις ὁ σκύθης, κύριε σεβασμιώτατε, παρὰ μὲν τοῖς ἕλλησιν ἐθαυμάσθη, φήσας· Ἐμοὶ περίβλημα, χλαῖνα· δεῖπνον, γάλα, τυρός· παρὰ δὲ τοῖς ῥωμαίοις Μάνιος εὐδοκίμησεν ὁ Κούριος, διά τε τοῦ οἰκήσεως τὸ λιτὸν, καὶ διότι πρὸς ἐσχάρᾳ καθήμενος ἕψειν γογγυλίδας εὑρέθη. θαύματος ἠξίωσαν καὶ τὸ Ἡρακλείτου, πρὸς τοὺς ξένους εἰπόντος (τοὺς βουλομένους αὐτοῦ ἐντυχεῖν· οἳ, ἐπειδὴ προσιόντες εἶδον αὐτὸν θερόμενον πρὸς τῷ ἴπνῳ, ἔστησαν:) εἰσιέναι θαῤῥοῦντας, εἶναι γὰρ κἀνταῦθα θεούς. ποῖα δὲ ταῦτα, καὶ παραπλήσια, ἢ κατορθώματα ἢ ἀποφθέγματα; οὐχὶ φροῦδα πάντα, καὶ (ὥς φησί που ὁ Κύριλλος) εἰκαιόμυθα, πρὸς τὰ τῶν χριστιανῶν ἄν τις αὐτὰ συγκρίνειε; καθάπερ γὰρ ἀνδριὰς ἀκέφαλος, ὁπωσδήποτε τῇ κατασκευῇ διαφέρων, τέχνης ἐμμελέτημα, ἐξευτελίζεται: οὕτω πᾶν ὁ, ποιοῦ εἴτε φθέγμα εἴτε ἔργον, ἡμιτελὲς νομίζεται καὶ ἀκατασκεύα-

Clem. Alex. Str. I.

Plut. vita M. Catonis.

Aristot. 1. de partib. animal. 4.

στον, μὴ ἀρετῇ φιλοθέῳ διαπρέπον. Οἵων λόγων τε σπουδαίων, καὶ πράξεων θεαρέστων, ὑποδείγματα πάμπολλα ἐν ταῖς ἐκκλησιαστικαῖς βίβλοις καταγράφεται ἄλλων τε, καὶ Ἀντωνίου τοῦ ἐρημίτου, ἀνδρὸς τῷ ὄντι θεοτιμήτου· οὗ τὸν βίον ὁ μέγας Ἀθανάσιος, τῆς θείας φιλοσοφίας ἀρχέτυπον, εἰς γενεὰς παρέπεμψε. Τούτου τὴν ἀξιαφήγητον ἱστορίαν μεθερμηνεῦσαι, καὶ ἐκδοῦναι εἰς φῶς ἀποτολμήσας, ὀλίγων ὅσων, τοῦ ὠφελῆσαι τοὺς φιλολόγους, παρασημειωθέντων, σοί, εὐλαβέστατε κύριε, προσφωνεῖν ἠβουλόμην, διά τε τὸ ὁμώνυμον τῷ ἁγίῳ, καὶ τὸ τοῦ ζῆν συγγενές. καὶ γὰρ καὶ σοὶ ἤρεσε

δέσμα γάμοιο φυγόντι, θεῷ καθ' ὅλον σ' ἱερῶσαι
οὐρανίῳ, κόσμου λυόμενον χθονίου.

Τῆς σῆς φιλοφροσύνης ἔσται, τὸ μοὶ τολμηθὲν, ἢ παρορᾳθὲν, εὖ θέσθαι. ἔῤῥωσο τιμία κεφαλή. Ἐκ τῆς τῶν Βινδελικῶν Αὐγούστης, τῇ ς'. ἐπὶ δέκα Γαμηλιῶνος, ἔτει ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας α.χ ιά. ὃ σωτήριόν σοι καὶ μακαριστὸν εὔχομαι.

DE